ραν καὶ ἔστη ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους μακρόθεν, καὶ πολλὴ ἡ
14 ὁδὸς ἀνὰ μέσον αὐτῶν. [14]καὶ προσεκαλέσατο Δαυιδ τὸν λαὸν καὶ
τῷ Αβεννηρ ἐλάλησεν λέγων Οὐκ ἀποκριθήσει, Αβεννηρ; καὶ ἀπε-
15 κρίθη Αβεννηρ καὶ εἶπεν Τίς εἶ σὺ ὁ καλῶν με; [15]καὶ εἶπεν Δαυιδ
πρὸς Αβεννηρ Οὐκ ἀνὴρ σύ; καὶ τίς ὡς σὺ ἐν Ισραηλ; καὶ διὰ
τί οὐ φυλάσσεις τὸν κύριόν σου τὸν βασιλέα; ὅτι εἰσῆλθεν εἷς
16 ἐκ τοῦ λαοῦ διαφθεῖραι τὸν βασιλέα κύριόν σου. [16]καὶ οὐκ ἀγαθὸν
τὸ ῥῆμα τοῦτο, ὃ πεποίηκας· ζῇ κύριος, ὅτι υἱοὶ θανατώσεως
ὑμεῖς οἱ φυλάσσοντες τὸν βασιλέα κύριον ὑμῶν τὸν χριστὸν κυ-
ρίου. καὶ νῦν ἰδὲ δή· τὸ δόρυ τοῦ βασιλέως καὶ ὁ φακὸς τοῦ ὕδα-
17 τος ποῦ ἐστιν τὰ πρὸς κεφαλῆς αὐτοῦ; [17]καὶ ἐπέγνω Σαουλ τὴν
φωνὴν τοῦ Δαυιδ καὶ εἶπεν Ἡ φωνή σου αὕτη, τέκνον Δαυιδ;
18 καὶ εἶπεν Δαυιδ Δοῦλός σου, κύριε βασιλεῦ. [18]καὶ εἶπεν Ἵνα τί
τοῦτο καταδιώκει ὁ κύριός μου ὀπίσω τοῦ δούλου αὐτοῦ; ὅτι τί
19 ἡμάρτηκα καὶ τί εὑρέθη ἐν ἐμοὶ ἀδίκημα; [19]καὶ νῦν ἀκουσάτω δὴ
ὁ κύριός μου ὁ βασιλεὺς τὸ ῥῆμα τοῦ δούλου αὐτοῦ· εἰ ὁ θεὸς
ἐπισείει σε ἐπ᾽ ἐμέ, ὀσφρανθείη θυσίας σου· καὶ εἰ υἱοὶ ἀνθρώ-
πων, ἐπικατάρατοι οὗτοι ἐνώπιον κυρίου, ὅτι ἐξέβαλόν με σήμερον
μὴ ἐστηρίσθαι ἐν κληρονομίᾳ κυρίου λέγοντες Πορεύου δούλευε
20 θεοῖς ἑτέροις. [20]καὶ νῦν μὴ πέσοι τὸ αἷμά μου ἐπὶ τὴν γῆν ἐξ
ἐναντίας προσώπου κυρίου, ὅτι ἐξελήλυθεν ὁ βασιλεὺς Ισραηλ
ζητεῖν τὴν ψυχήν μου, καθὼς καταδιώκει ὁ νυκτικόραξ ἐν τοῖς
21 ὄρεσιν. [21]καὶ εἶπεν Σαουλ Ἡμάρτηκα· ἐπίστρεφε, τέκνον Δαυιδ,
ὅτι οὐ κακοποιήσω σε ἀνθ᾽ ὧν ἔντιμος ψυχή μου ἐν ὀφθαλμοῖς
σου ἐν τῇ σήμερον· μεματαίωμαι καὶ ἠγνόηκα πολλὰ σφόδρα.
22 [22]καὶ ἀπεκρίθη Δαυιδ καὶ εἶπεν Ἰδοὺ τὸ δόρυ τοῦ βασιλέως·
23 διελθέτω εἷς τῶν παιδαρίων καὶ λαβέτω αὐτό. [23]καὶ κύριος ἐπι-
στρέψει ἑκάστῳ τὰς δικαιοσύνας αὐτοῦ καὶ τὴν πίστιν αὐτοῦ, ὡς
παρέδωκέν σε κύριος σήμερον εἰς χεῖράς μου καὶ οὐκ ἠθέλησα
24 ἐπενεγκεῖν χεῖρά μου ἐπὶ χριστὸν κυρίου· [24]καὶ ἰδοὺ καθὼς ἐμε-
γαλύνθη ἡ ψυχή σου σήμερον ἐν ταύτῃ ἐν ὀφθαλμοῖς μου, οὕτως
μεγαλυνθείη ἡ ψυχή μου ἐνώπιον κυρίου καὶ σκεπάσαι με καὶ ἐξε-

14 αβεννηρ $2^{0} \frown 3^{0}$ B*O* | με > B† | fin.] + προς τον βασιλεα *O*†, + τις ει συ *L*† || 15 τον ult. — fin.] τον ante κυριον add. A, τον κυριον σου τον βασ. *L*, τον βασ. *O*-A || 16 κυριον] pr. τον *OL* || 17 του > *OL* | αυτη τεκνον] tr. B† || 18 ειπεν] + δαυιδ A*L*† | καταδιωκει / ο κυρ. μου] tr. *O*†, μου > BA, + ο βασιλευς *L*† | οτι τι] τι > A || 19 δη > B† | επ] εις A† | θυσιας (cf. Helbing Kasussyntax p. 159) B†] θυσια AM†, η θυσια rel.: οσφρανθειη in B est deponens, in rel. passiuum | ουτοι > *O* || 20 την(>B†) ψυχην μου] ψυλλον ενα *L*†: cf. 𝔐 et 24 15 || 21 σε] + ετι *OL* | εν ult.] pr. και B*† | σημερον BA†] ημερα ταυτη *L*, pr. ημερα ταυτη *O*-A† | ηγνοησα *O*† || 23 σημερον > A || 24 σκεπασαι] -σει uel sim. *O*†, εκσπασαι *L*† | εξελειται] -λοιτο A*L*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/608 UNIVERSITÄT LEIPZIG